

+ Δαμιανὸς ἐλέῳ Θεοῦ Πατριάρχης τῆς Ἁγίας Πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης

Ἀριθμ. Πρωτ.
2358

Ἐλλογιμώτατε κυρ. Γεώργιε Λαμπάκη, υἱὲ ἐν Χριστῷ ἀγαπητὲ τῆς Ἡμῶν Μετριότητος. Τὴν ὑμετέραν λίαν Ἡμῖν περισπούδαστον Ἐλλογιμότητα ἀπὸ καρδίας εὐχόμενοι, Πατρικῶς εὐλογοῦμεν.

Τὰ διὰ τοῦ τηλεγράφου διερμηνευθέντα Ἡμῖν συγχαρητήρια τῆς ὑμετέρας λίαν ἀγαπητῆς Ἐλλογιμότητος ἐπ' εὐκαιρίᾳ τῶν ὀνομαστηρίων Ἡμῶν εὐαρέστως λίαν διέθεσαν Ἡμᾶς πρὸς αὐτήν, ἐγνωσμένων εὐλαβῶν καὶ φιλοστόργων διαθέσεων πρὸς τὴν ἐν Σιὼν Ἁγιωτάτην Ἐκκλησίαν τυγχάνουσαν. Τὰς Πατρικὰς δ' Ἡμῶν ἐπὶ τούτοις ἐκφράζοντες εὐχαριστίας, δεόμεθα τοῦ Οὐρανίου ἡμῶν Πατρὸς κρατύνειν μὲν ἐν αὐτῇ ἀναλλοιώτως τὴν ἀγάπην καὶ τὴν εὐλάβειαν πρὸς τ' ἀγαπητὰ τῆς Σιὼν Σκηνώματα, χαρίζεσθαι δ' αὐτῇ τὸν βίον μακραίωνά τε καὶ ἄλυπον καὶ καρποφόρον ἐν παντὶ ἔργῳ θεοφιλεῖ καὶ θεαρέστῳ πρὸς δόξαν τοῦ εὐλογητοῦ Αὐτοῦ ὀνόματος.

Καταστέφοντες δ' αὐτήν τε καὶ τὸν θεοφιλῆ αὐτῆς οἶκον ταῖς Πατρικαῖς Ἡμῶν εὐχαῖς καὶ εὐλογίαις διατελοῦμεν.

Ἐν τῇ Ἁγίᾳ Πόλει Ἱερουσαλὴμ ᾳπζ΄ Νοεμβρίου στ΄

+ Ὁ Ἱεροσολύμων ἐν Χῷ εὐχέτης